# 33.

498

# ΕΙ ΑΥΤΑΡΚΗΣ Η ΚΑΚΙΑ ΠΡΟΣ ΚΑΚΟΔΑΙΜΟΝΙΑΝ

(Plan. 45)

*** ὑπομένει

ʽπεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχωνʼ

ὡς Εὐριπίδης φησίν (Phaeth. 775), βραχέα δεδήλωται
B καὶ ἀβέβαια· τῷ δʼ οὐ πολλῆς διὰ τέφρας ἀλλὰ πυρκαϊᾶς τινος βασιλικῆς πορευομένῳ καὶ περιφλεγομένῳ, ἄσθματος καὶ φόβου μεστῷ καὶ ἱδρῶτος διαπόνου πλοῦτόν τινα προσθεῖσα Ταντάλειον, ἀπολαῦσαι διʼ ἀσχολίαν οὐ δυναμένῳ. ὁ μὲν γὰρ Σικυώνιος ἐκεῖνος ἱπποτρόφος εὖ φρονῶν ἔδωκε τῷ βασιλεῖ τῶν Ἀχαιῶν θήλειαν ἵππον δρομάδα δῶρον, ʽἵνα μή οἱ ἕποιθʼ ὑπὸ Ἴλιον ἠνεμόεσσαν ἀλλὰ